www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΠΟΡΦΥΡΙΟΥ

# ΕΠΙΣΚΟΠΟΥ ΓΑΖΗΣ

τοῦ Θαυματουργοῦ.

Τῇ κϛ΄ τοῦ μηνὸς Φεβρουαρίου

www.tezaurliturgic.ro

# Τῇ κϛ΄ τοῦ μηνὸς Φεβρουαρίου Μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Πορφυρίου Ἐπισκόπου Γάζης τοῦ Θαυματουργοῦ.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ Προσόμοια.
*(Ἐκ τῆς ἀναπληρώσεως)*

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Πλεονάζει τρισόλβιε, τῆς ἡμῶν οὐδενότητος, τὸ δοθέν σοι τάλαντον ἐκ τοῦ Πνεύματος· ἄλλου γὰρ κόσμου σὺ γέγονας, πολίτης ἐν σώματι, τῶν σκηνῶν τοῦ οὐρανοῦ· ὅθεν πάντας ἐξέπληξας, ἐν τοῖς πλήθεσι, τῶν τεράτων Πορφύριε τῆς Γάζης, φωτιστὰ καὶ ποιμενάρχα, τῆς Ἐκκλησίας ἐγκαύχημα.

Ὁ φρονῶν τὰ ἀρέσκοντα, τῷ Κυρίῳ Πορφύριε, ἔνδον ἅπτει ἄϋλον πῦρ καὶ ἄσβεστον, δι' οὗ τεφροῖ τὰ ἀντίθετα, ζωοῖ δὲ τὰ ἄγοντα, πρὸς τὸν ἔρωτα Θεοῦ, οὐδαμῶς λογιζόμενος, πλοῦτον, δόξαν τε, ἡδονὰς τὰς ματαίας ἀλλὰ πρόσω, καθ' ἡμέραν ἐξανύει, ξένον ὡς σὺ βίον Ἅγιε.

Ρευματίζει γενέτειραν, ἡ ζεφύριος εὔπνοια, ἧς ἀπηυτομόλησας ὡς αἰχμάλωτος, ποθῶν τὴν αὔραν τῆς Σκήτεως, ἣν πνέων προσήγγιζες, τὰ ὁρμήματα Θεοῦ, τὰ τὴν πόλιν εὐφραίνοντα, τὴν οὐράνιον, ἔνθα νῦν ἀπεγράφης ἐπαξίως, εἰς αἰῶνας κατοικήτωρ, ἡμῶν Πορφύριε μνήσθητι.

Φαιδροτάτη ἀνάψυξις, ἡδυτάτη ἀπόλαυσις, ἡ τῆς πολιτείας σου ἐκδιήγησις, τοῖς φιλαγίοις Πορφύριε· καὶ γὰρ οὐ πιμπλάμεθα, ἱστορεῖν τὰ περὶ σέ, δι' ὧν Κύριος ἔκδηλον, ἐμπεποίηκεν, ἣν ἀείποτε χάριν ἀπονέμει, ὡς υἱοῖς αὐτοῦ γνησίοις, τοῖς ἐντολὰς πόθῳ πράττουσι.

### Δόξα. Ἦχος α΄.

Ὑφάνας σὴν πορφύραν, θεοῦφαντε Πορφύριε, τῇ συνεργείᾳ τοῦ Χριστοῦ, τοῦ ὡς ἱμάτιον πορφυροῦν, φιλανθρώπως ἐνδυσαμένου τὴν ἡμετέραν σάρκα, ὡς μὲν στήμονα τὴν ὁλόθυμον προαίρεσιν ἔστησας, ὡς δὲ ὑφάδιον τὸν θεῖον ἔρωτα, δι' ὧν ἡ θεουργικωτάτη Τριάς, ὡς ὑπερθαύμαστον ἁλουργίδα, σὲ ἁγιώτατε ἐξυφάνατο· ἥνπερ καὶ εἰς τὸ δεῖπνον τῆς Βασιλείας, ὡς συμποσιαστὴς περιφέρων, τὰ ἐλέη τοῦ Κυρίου, κατάπεμψον τοῖς ὑμνηταῖς σου, τοῖς τρεφομένοις ἐκ τῆς πορφυρωθείσης, τῷ τιμίῳ αἵματι, παναγίας αὐτοῦ σαρκός.

### Καὶ νῦν. Θεοτοκίον.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

## Ἀπόστιχα Προσόμοια.

*Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ρείθροις δακρυτικοῖς, πορφύραν σου ἐμβάψας, παρέστης τῷ Κυρίῳ, ἐν παρρησίᾳ Πάτερ, ἀρχιεράρχης τίμιος.

www.tezaurliturgic.ro


Στίχ.: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος
τοῦ Ὁσίου αὐτοῦ.

Ιθι ὡς Φινεές, καὶ αὖθις θεῖε Πάτερ, πατάσσων ἐκ καρδίας, μιάσματα εἰδώλων, καὶ τὸν Χριστὸν ἐγκαίνισον.

Στίχ.: Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ
οἱ Ὅσιοί σου ἀγαλλιάσσονται.

Ωρα μὲν σοὶ σοφέ, Κυρίῳ παρεδρεύειν, ἡμῖν δὲ μετὰ φόβου, πορεύεσθαι τὴν τρίβον, αὐτοῦ ταῖς ἱκεσίαις σου.

**Δόξα. Τριαδικόν.**

Αλλην καθάπερ δρῦν, Μαμβρῇ Τριὰς Ἁγία, εὑροῦσα τὸν σὸν δοῦλον, Πορφύριον κατῆλθες, καὶ τούτῳ ἐδεξίωσαι.

**Καὶ νῦν. Θεοτοκίον.**

Σὺ εἶ Ἁγία Γῆ, Κυρία Θεοτόκε, ἐν ᾗ ἐτελειώθη, ἡ τῆς φιλανθρωπίας, Κυρίου συγκατάβασις.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

*(Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου)*

Πορφυραυγέσιν ἀρετῶν λαμπηδόσι, καταλαμπρύνας σεαυτὸν Ἱεράρχα, καθάπερ φῶς ἐξέλαμψας, Πορφύριε σοφέ· λόγοις γὰρ καὶ θαύμασιν, ἀληθῶς διαπρέψας, πᾶσιν ἐβεβαίωσας, εὐσεβείας τὴν χάριν, καὶ νῦν Χριστῷ ἀΰλως λειτουργῶν, ὑπὲρ τοῦ κόσμου, μὴ παύσῃ δεόμενος.

**Καὶ Ἀπόλυσις.**

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν, στιχολογοῦμεν τὴν α´ στάσιν τοῦ α´ Καθίσματος τοῦ Ψαλτηρίου. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ Προσόμοια.

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

Τοῖς τῶν δακρύων σου ῥείθροις, μάκαρ Πορφύριε, τὸν τῆς ψυχῆς καθάρας, ῥύπον ἔσβεσας φλόγα, παθῶν τῆς ἁμαρτίας, καὶ τὴν στολήν, ἐν πορφύρᾳ χρωννύμενος, ἐν οὐρανίοις πολεύῃ διὰ παντός, εἰς αἰῶνας ἀγαλλόμενος.

Ὀρθοδοξίας ἐμπρέπων, θείοις ὑψώμασιν, ἀρχιερέων κλέος, τῇ λυχνίᾳ ἐτέθης, ἄξιος ἐργάτης, μισθὸν ἀληθῶς, τῶν σῶν πόνων δρεπόμενος· καὶ διὰ τοῦτο χαρίσματα ἐκ Θεοῦ, ἐκομίσω παμμακάριστε.

Ὁ μυστιπόλος τῆς κάτω, φρικτῆς τραπέζης ἐκεῖ, ἐν οὐρανοῖς Κυρίῳ, τὴν θυσίαν προσφέρει, τὴν ἄϋλον καὶ θείαν, ἀΰλως ἀεί, ἐποπτεύων ἡμᾶς ταῖς αὐτοῦ, πρὸς τὴν Ἁγίαν Τριάδα πρεσβευτικαῖς, ἱκεσίαις ὁ Πορφύριος.

Θεσσαλονίκης τὸ κλέος, καὶ Γάζης μέγας φωστήρ, ὁ πᾶσιν ἰαμάτων, χορηγίας προχέων, Πορφύριος ὁ θεῖος, πάντας ἡμᾶς, συγκαλεῖται τῇ μνήμῃ αὐτοῦ, ὕμνους Θεῷ τῷ τῶν ὅλων προσαγαγεῖν, αἰτουμένους θεῖον ἔλεος.

www.tezaurliturgic.ro



Ἐκ νεαρᾶς ἡλικίας, θεοφορούμενος, ταῖς σαῖς διδασκαλίαις, σὺ τῶν αἱρετιζόντων, κατέβαλες τὰ θράση, ἰθύνας σοφῶς, τὸ ἐν Γάζῃ σὸν ποίμνιον, καὶ τὸν ναὸν ψευδωνύμου θεοῦ Μαρνᾶ, κατακαύσας ἐθριάμβευσας.

Βίον ἐτέλεσας μάκαρ, ὄντως θεάρεστον, ἐάσας τὰ τοῦ κόσμου, τῷ Χριστῷ συνετάξω· διὸ τῇ τῶν σῶν λόγων, σφενδόνῃ λαμπρῶς, τοὺς ἐν σκότει κατηύγασας, τοὺς ἀσεβεῖς δὲ εὐστόχως καταβαλών, ὄντως πάτερ δεδόξασαι.

## Δόξα. Ἦχος πλ. δ΄.

Ζέλας φαεινόν, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, κατέστης ἱερώτατε Πορφύριε· φωτὶ γὰρ τῶν σῶν θείων ἀρετῶν, ἐλάμπρυνας ταύτην θεόσοφε. Πολλοὺς τῶν ἀπίστων, εἰς θεογνωσίαν ἐπιστρέψας, τῆς σῆς ποίμνης ἀπήλασας, τοὺς ἀγρίους καὶ θρασεῖς, τῆς εἰδωλολατρίας λύκους, ἐν κόπῳ δὲ καὶ μόχθῳ, ῥοαῖς τε δακρύων, τὸν σὸν βίον διανύσας, καὶ τῇ ἀρετῇ διαπρέψας, πρὸς Χριστὸν τὸν Θεὸν ἐξεδήμησας· παρ' ᾧ παρρησίαν ἔχων, πρέσβευε ὑπὲρ τῶν πίστει τελούντων, τὴν ἀεισέβαστον μνήμην σου.

## Καὶ νῦν. Ὁ αὐτός. Θεοτοκίον.

Ὁ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθών, μετὰ τῆς προσλήψεως, εἷς ἐστιν Υἱός, διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν· διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε, Μήτηρ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



Εἴσοδος. Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.
## (Κεφ. μγ΄ 9)

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. ε΄ 15)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον.

www.tezaurliturgic.ro



Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε. Μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. γ΄ 1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

www.tezaurliturgic.ro

## Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

### Ἦχος α΄.

Τὸν ἀγγελικῶς καὶ ὁσίως βιώσαντα, καὶ πόθῳ θείῳ τὴν Ὀρθοδοξίαν κηρύξαντα, τὸ κλέος πατέρων Πορφύριον, εὐσεβῶς ἀνευφημήσωμεν· φωτισμῷ γὰρ εὐσεβείας, τὴν Ἐκκλησίαν φαιδρύνας, τῆς ἐπουρανίου παρὰ Χριστοῦ, ἠξιώθη ὄντως ζωῆς. Ὅθεν μετ' Ἀγγέλων νῦν αὐλιζόμενον, ᾠδαῖς πνευματικαῖς ὑμνοῦντες αὐτὸν βοήσωμεν· Μὴ ἐλλείπῃς πρεσβεύων ὑπὲρ ἡμῶν Ἅγιε, τῶν τελούντων πιστῶς, τὴν παναοίδιμον μνήμην σου.

### Ἦχος ὁ αὐτός. *(Ἐκ τῆς ἀναπληρώσεως).*

Ἡδύτατος Πάτερ ὁ βίος σου, ἐπέραστα δὲ καὶ τὰ θαυμάσιά σου, δι' ὧν οὗτος κεκόσμηται, Γαζαίων ἀρχιθῦτα Πορφύριε· καὶ γὰρ φάρμακον ἀκεσώδυνον γίνεται τοῖς ἀκούουσιν, ὠφέλειαν οὐ μετρίαν ὑπεισφέρων, ταῖς ψυχαῖς τῶν εὐσεβῶν. Τῇ γνώμῃ σου τὴν θείαν χάριν ἐφελκύσας, πάντα ἠνέσχου παθεῖν, καὶ δρᾶν ὑπὲρ Χριστοῦ ἰσαπόστολε. Ὅθεν μὴ ἐξαρκοῦντες εἰς τὸν δίκαιον ἔπαινόν σου, δοξάζομεν φαιδρῶς, τὸν δοξάσαντά σε Κύριον.

### Ἦχος β΄. *(Ἐκ τῆς ἀναπληρώσεως).*

Οὐκ ἄκοσμος καλλιλεξία, ἁρμοδίως ἐπαρκεῖ τοῦ κοσμῆσαί σε Πάτερ, ἀλλ' ὁ μακαρισμὸς τοῦ Κυρίου· οὗ τῷ ἔρωτι τρωθείς, τὴν ἐνεγκαμένην σε καταλιπών, ὡς φοίνιξ βαθύρριζος ἐφυτεύθης, ἐν τῇ ἐρήμῳ τῆς Σκήτεως· καὶ τὴν πεντάριθμον αἴσθησιν, διὰ πενταετοῦς χρόνου ἐκκαθάρας, ὥρμησας ἐραστικώτερον ἔτι, ἔνθα οἱ πόδες τοῦ ἠγαπημένου Κυρίου ἔστησαν· καὶ σπηλαιοδύτης γεγονώς, τὰς θείας ἐπιλάμψεις ἀπήλαυες, ἀντωνησάμενος ταύτας, τῇ ὑπερμέτρῳ ἀσκήσει. Ὅθεν σε ὑπερηυλόγησεν ὁ Εὐλογητός, ὁ ἀρεσκόμενος τῇ διὰ τῶν παθημάτων συμμορφώσει αὐτῷ.

www.tezaurliturgic.ro



### Ἦχος γ΄. *(Ἐκ τῆς ἀναπληρώσεως).*

Εἶδεν ἅγιε Πορφύριε, Θεὸς ὁ πάντα ἐφορῶν, τὸν κόπον σου, καὶ τοῖς χαρίσμασι τοῖς ἀποστολικοῖς σε ἀντημείψατο. Καὶ ὁ πρῴην ὑπὸ ταπεινῆς βακτηρίας ὑποβασταζόμενος, στῦλος ἀκλόνητος καὶ ὑπερμεγέθης ἐγένου, ἐν ᾧ πλήθη ἐποικοδομηθεισῶν ψυχῶν, τῷ Κυρίῳ εὐηρέστησαν. Ἡ γὰρ τοῦ Θεοῦ ἐλπὶς οὐ καταισχύνει, ὡς Παῦλος ἀπεφήνατο.

### Ἦχος δ΄.

Δεῦτε εὐφημήσωμεν πιστοί, τὸν τῆς εὐσεβείας θεόπνευστον πρόμαχον, Πορφύριον τὸν ἀοίδιμον· ὀρθοδόξῳ γὰρ φρονήματι, πρόβολος ὠράθη, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ὡς ἀστὴρ δὲ φαεινός, θείαις αὐτοῦ διδαχαῖς, τοὺς ἐν Γάζῃ καταπυρσεύσας, διώκτης τῶν κακοδόξων ἰσχυρότατος ἐφάνη. Διὸ παρρησίαν ἔχων παρὰ τῷ τῶν ὅλων Θεῷ, ἀδιαλείπτως πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος ὁ αὐτός. *(Ἐκ τῆς ἀναπληρώσεως).*

Χρυσὸν ὑπὲρ Χριστοῦ καταφρονήσας, πατὴρ ἐγένου πτωχῶν, καὶ φροντιστὴς πενήτων καὶ ὀρφανῶν, ἡγιασμένε καὶ φιλόχριστε Πορφύριε. Ὁ θησαυρός σου γὰρ ἦν ἀεὶ ἔνθα καὶ ἡ καρδία σου, καὶ ἡ καρδία σου δὲ θησαυροφυλάκιον, τοῦ ὃν οὔτε σὴς οὔτε κλέπται ἀφανίζουσιν. Ὅθεν σου ἐμνήσθη ὁ Κύριος, καὶ τῇ εὐσπλαγχνίᾳ αὐτοῦ ἰάσατό σε θαυμαστῶς. Διὸ ὡς σὺν αὐτῷ εὐφραινόμενος συμπαθέστατε, μνήσθητι καὶ τῆς πτωχείας μου.

www.tezaurliturgic.ro

Ἦχος πλ. α΄. (*Ἐκ τῆς ἀναπληρώσεως*).

Πάντοτε χάριν εὑρήσουσιν, οἱ φιλοῦντες τὸν Κύριον· σὺ δὲ Πορφύριε ὁσιώτατε, ὡς ὑπὲρ πολλοὺς ἀγαπήσας, καὶ ἐξαιρέτου ἀντιφιλίας πέλαγος ἐγένου. Ἦλθες πρὸς τὸν Σωτῆρα ἑκουσίως, καὶ τὸ Ξύλον αὐτοῦ τὸ προσκυνητὸν καὶ τίμιον, ἠξιώθης παραφυλάξαι. Ὃ γάρ σοι ἐν ὄψει νυκτερινῇ προεμηνύθη, ἔργον καὶ ἐγένετο. Ὅθεν, σὺν τῷ φανέντι σοι εὐγνώμονι Ληστῇ ἱκετεύομεν· ἄρατε χεῖρας ἱκέτιδας, καὶ πρὸς τὸν σταυρωθέντα βοήσατε· Μνήσθητι Δέσποτα φιλάνθρωπε, τῆς κληρονομίας σου.

Ἦχος πλ. β΄.

Δεῦτε λαοί, ὕμνοις μακαρίσωμεν, Πορφύριον τὸν τῆς Γάζης σοφὸν ποιμένα· τὸν Σωτῆρα γὰρ Χριστὸν παρρησίᾳ ἀνακηρύξας, καὶ λαοὺς ἐκ τῆς πλάνης ἐλευθερώσας, τῆς οὐρανίου βασιλείας κατηξιώθη· ἔνθα οὐ παύει δεόμενος, ὑπὲρ τῶν ἀνυμνούντων, τὰ θεῖα αὐτοῦ κατορθώματα.

Δόξα. Ἦχος πλ. δ΄.

Μνήμην τὴν φωτοφόρον, τοῦ σοφοῦ τῆς Γάζης ποιμένος, Πορφυρίου τοῦ θείου, δεῦτε φαιδρῶς ἀναμέλψωμεν· τῆς γὰρ προσκαίρου ζωῆς τὰ πάθη, ἐγκρατείας τοῖς βέλεσι νεκρώσας, πολλοὺς δὲ τῶν ἐν τῇ πλάνῃ, ἐνθέοις λόγοις ζωγρήσας, τὴν θείαν ἐν οὐρανοῖς, ἀπόλαυσιν κληροῦται. Ὅθεν παρρησίαν κεκτημένος, πρὸς Χριστὸν τὸν Θεόν, ἐκ παντοίων κακώσεων ἡμᾶς λυτρούμενος, αἰτεῖται ἀεὶ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

www.tezaurliturgic.ro



## Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

## Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῆς Ἐκκλησίας φωστήρ, τῶν Ἀποστόλων μιμητὴς καὶ ἐφάμιλλος, ἐν Γάζῃ τρανῶς κηρύξας, τὸν ἐν Τριάδι Θεόν, τῆς κακοδοξίας πλάνην ἔσβεσας, σοῖς λόγοις ἐφώτισας, τοὺς πιστοὺς καὶ κατήρδευσας, αὐτῶν καρδίας, θείοις ῥείθροις τοῦ Πνεύματος, ὦ Πορφύριε, Ἱεράρχα πανένδοξε, κήρυξ παναληθέστατε, καὶ θύτα πανεύφημε, πᾶσι τοῖς πίστει τελοῦσι, τὴν πανaοίδιμον μνήμην σου, Χριστὸν καταπέμψαι, ἱερώτατε δυσώπει, τὸ μέγα ἔλεος.

Στίχ.: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις ὁ ζήλου θείου πλησθείς, τῆς Ἐκκλησίας Ἱεράρχης πανσέβαστος, τῆς Γάζης τὸ μέγα κλέος, ὁ τῶν πιστῶν στηριγμός, Θεσσαλονικέων ἐγκαλλώπισμα, φωστὴρ φαεινότατος, ἐκλογῆς σκεῦος ἔνθεον, ὁ ταπεινώσας, τῆς σαρκὸς τὰ σκιρτήματα, δι' ἀσκήσεως, καὶ νηστείας τοῖς βέλεσι, φέγγει δὲ θείας γνώσεως, ὡς ἥλιος ἄνωθεν, τοὺς ἐν νυκτὶ καθημένους, φωταγωγήσας μακάριε· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ.: Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Θείᾳ διδασκαλίᾳ σοφέ, τῶν κακοδόξων τὰ φυτὰ κατεμάρανας, πιστεύειν διδάξας πάντας, εἰς Ἰησοῦν τὸν Χριστόν, ὃς ἐνανθρωπήσας κόσμον ἔσωσε· ναοὺς οὖν ἀνήγειρας, καὶ τὴν πίστιν ἐκράτυνας, πάνυ εὐόδως, οἰακίσας σὸν ποίμνιον, ὄντως ἴθυνας, πρὸς λιμένα σωτήριον. Πᾶσι τοῖς ἐκτελοῦσί σου, τὴν μνήμην Πορφύριε, καὶ μελῳδοῦσιν ἐν πίστει, τῶν σῶν ἀγώνων τὸ μέγεθος, Χριστὸν δωρηθῆναι, ὁσιώτατε δυσώπει, τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro



**Δόξα. Ἦχος πλ. β΄.**

Τὸν ἀγλαὸν Θεσσαλονίκης γόνον, καὶ τῆς Γάζης Ἱεράρχην θειότατον, τὸν ἐκ τῆς πλάνης πλήθη ἀσεβῶν ἐξαγαγόντα, τῇ δυνάμει τοῦ θείου Πνεύματος, δεῦτε φιλέορτοι ἑορτάσωμεν, τὸν ἐν Ὁσίοις θαυματουργὸν Πορφύριον· Θεῷ γὰρ εὐαρεστήσας ἐπὶ γῆς, τῶν σημείων ἀπείληφε τὴν χάριν, τοῦ ἰᾶσθαι πάντας, τοὺς θερμῇ τῇ πίστει πρὸς αὐτὸν προσιόντας, καὶ αἰτουμένους τὴν πρὸς Θεόν, ἱερὰν καὶ πάντιμον πρεσβείαν αὐτοῦ.

**Καὶ νῦν. Θεοτοκίον.**

Ὁ Ποιητὴς καὶ Λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρῴην κατάρας, τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε, καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ χαῖρε τοῦ Ἀγγέλου· Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Τὰ ἑπόμενα (*ἐκ τῆς ἀναπληρώσεως*).

**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου.**

Πάτερ θεόφρον Πορφύριε, τὸν Ἰησοῦν ἐκζητῶν, ἐμακρύνθης οἰκείων σου, καὶ θερμῶς ᾠκείωσαι, τοῖς φιλοῦσι τὸν Κύριον, τῇ δὲ ἀσκήσει ἐπιλαμφθεὶς τῷ νοΐ, καὶ ἀσθενείᾳ ἐπιρρωσθεὶς τῇ ψυχῇ, γέγονας ἄμεμπτος, πρᾶος ἐλεήμων τε καὶ τῆς Γραφῆς, ἐγκρατὴς φιλόπτωχος, πίστεως πρόμαχος.

Στίχ.: Τίμιος ἐναντίον Κυρίου
ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

www.tezaurliturgic.ro



Όσιε Πάτερ Πορφύριε, τῆς ἀκτησίας κανών, τὸν σὸν πλοῦτον ἐσκόρπισας, πένησι γενόμενος, κηδεστὴς ἐνθεώτατος, σαυτὸν δὲ σκεῦος Ἁγίου Πνεύματος, καταστησάμενος σκεύη τίμια, Θεῷ ἀνέθηκας· ὅθεν ἄρτον ἤσθιες ἐκ πόνων σῶν, πλύνων βύρσας ῥάπτων τε, ὥσπερ ὁ Παῦλός ποτε.

Στίχ.: Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοίσου ἀγαλλιάσονται.

Τίμιε Πάτερ Πορφύριε, ὁ τὰς καρδίας εἰδώς, καὶ τιμῶν τοὺς τιμήσαντας, θεῖον αὐτοῦ ὄνομα, σὲ τιμῶν ἐχαρίσατο, ἱερωσύνης μέγα ὑπούργημα, καὶ τοῦ τιμίου Ξύλου τὴν φύλαξιν, ὡς συσταυρώσαντι, πάθη τὰ μακρύνοντα ἀπὸ ζωῆς, ἥνπερ ἐχορήγησεν, ἡμῖν ὡς εὔσπλαγχνος.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τῷ ἰσαγγέλῳ Παύλῳ κατὰ πάντα ἐφεπόμενος, τῷ Χριστοκήρυκι τῆς σῆς πατρίδος Πάτερ, ἀφομοίωμα λαμπρόν τε καὶ μιμητὴς ἐνθεώτατος, τούτου γεγένησαι, ὅπως τῷ Χριστῷ διὰ σταυροῦ, ἰσοβίως συνταξάμενος, ζήσῃς εἰς αἰῶνας. Ὅθεν τῇ ἐπιτεταμένῃ σου ἀσκήσει συγκεράσας, τὴν παρὰ Θεοῦ πλουσίως δοθεῖσάν σοι χάριν, ἄλλος ἀστὴρ ἀληκτόφωτος, τῇ τῶν Γαζαίων ἐκκλησίᾳ ἐχαρίσθης· ἡμῖν δὲ τοῖς τιμῶσί σου, τὴν μνήμην τὴν πάντιμον, δώρησαι ταῖς ἁγιωτάταις σου εὐχαῖς, τοῦ Κυρίου τὸ ἔλεος Πορφύριε.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

www.tezaurliturgic.ro

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὰ Ἀπολυτίκια.

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**
*(Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου)*

Πορφυραυγέσιν ἀρετῶν λαμπηδόσι, καταλαμπρύνας σεαυτὸν Ἱεράρχα, καθάπερ φῶς ἐξέλαμψας, Πορφύριε σοφέ· λόγοις γὰρ καὶ θαύμασιν, ἀληθῶς διαπρέψας, πᾶσιν ἐβεβαίωσας, εὐσεβείας τὴν χάριν, καὶ νῦν Χριστῷ ἀΰλως λειτουργῶν, ὑπὲρ τοῦ κόσμου, μὴ παύσῃ δεόμενος.

**Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**
*(Πορφυρίου Μ. Σιμωνοπετρίτου).*

Τὴν φαιδρὰν ἀμπεχόνην μοναζόντων ἐνδέδυσαι, καὶ ἀρχιερέων τὸ κλέος, ἀνεδείχθης Πορφύριε, Γαζαίων ἐκκλησίαν δαδουχῶν, Χριστὸν Υἱὸν Θεοῦ ὁμολογῶν, τὰ τεμένη τῶν δαιμόνων δὲ ἐκποδών, ἠφάνισας τρισόλβιε. Δόξα τῷ σὲ κοσμήσαντι φαιδρῶς· δόξα τῷ σὲ μεγαλύναντι· δόξα σοὶ τῷ πρεσβεύοντι ἀεί, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος α΄. Ἄλλο.** *(Σιναϊτικόν).*

Εὐσεβείας σοῖς λόγοις ἀνεφάνης ὁ πρόμαχος, τῶν ὀρθῶν δογμάτων στηρίξας, Ἐκκλησίαν Γαζαίων· καθεῖλες τοὺς ναοὺς τῶν ἀσεβῶν, ἐκ πλάνης λυτρωσάμενος λαούς, οὓς τῇ πίστει σελαγίσας, χαίρων βίου ἀπῆλθες. Δόξα τῷ ἐν Ἁγίοις θαυμαστῷ· δόξα τῷ εὐλογήσαντι, ἔργα θείας πίστεως τῆς σῆς, ὦ Ἱεράρχα Πορφύριε.

**Θεοτοκίον.**

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικίσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

Καί Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ἐφωταγώγησας λαοὺς Ἱεράρχα, ἱερωσύνης τῷ φωτὶ ἐξαστράπτων, τὴν τῶν εἰδώλων ἔλυσας σκοτόμαιναν σοφέ, θείοις δὲ διδάγμασι, τὰς ἐν Γάζῃ αἱρέσεις, καθελὼν ἀνέδραμες, πρὸς σκηνὰς οὐρανίους· ὑπὲρ ἡμῶν οὖν πρέσβευε θερμῶς, τῶν εὐφημούντων σε μάκαρ Πορφύριε.

**Δόξα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

*(Ἐκ τῆς ἀναπληρώσεως).*

Ἐνησίαν ἀδελφήν, σοὶ ἀνέθετο Πάτερ, Γαζαίων ὁ Χριστός, Ἐκκλησίαν ὁράσει, κοσμῆσαι κελεύων σε, καὶ πλουτῆσαι τῇ χάριτι· ὅθεν εὔτροπον, ἐπισκοπὴν ἀναδείξας, χορηγοῦντός σοι, ἀπροσδοκήτως Κυρίου, ἐν πᾶσι τὴν ἔξοδον.

**Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.** *(Ἐκ τῆς ἀναπληρώσεως).*

Εἰδώλων χαλεπά, ἀντιπρόσωπα ἔχων, τὰ πάθη τῆς ψυχῆς, δυσωπῶ σε Κυρία, βοήθειαν ἀπόστειλον, καθελεῖν ταῦτα τέλεον, καὶ ὑψῶσαί μου, ἐν τῇ καρδίᾳ Κυρίου, οἶκον ἅγιον, ἐν ᾧ ὁ νόμος καὶ μόνον, ἰσχύει τοῦ Πνεύματος.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

**Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.**

Μετὰ πόθου ἀσκήσας τῇ ἀρετῇ, τῶν ἡδέων ἀπέσχου ζήλῳ θερμῷ, ἀγῶνας σοφώτατε, εὐσεβείας ἀνέλαβες, νικητὴς δὲ ἐν τούτοις, ἀπέβης στερέμνιος, καὶ πληθὺν τῶν ἀπίστων, πρὸς φῶς ἐπανήγαγες, πᾶσαν τῶν εἰδώλων, καταργήσας τὴν πλάνην, τὸν στέφανον εἴληφας, Ἱεράρχα Πορφύριε, τῶν καμάτων ἀντάξιον, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

**Δόξα. Ἦχος γ΄. Τὴν ὡραιότητα.** *(Ἐκ τῆς ἀναπληρώσεως).*

Ξύλον τὸ τίμιον, διακονήσας πιστῶς, σταυρὸν ἀνείληφας, ἐπισκοπῆς ἐν καιρῷ, τοῦ ἀγαπῶντός σε Χριστοῦ, οὕτω οἰκονομήσαντος, οὗπερ δὲ ἱστάμενος, παρὰ βάσιν ἐδάκρυες, βλέπων τὴν ἀντίχριστον, μανικήν τε ἐξόρμησιν, ἀγνώστως τοῖς εἰδώλοις τὸ σέβας, ἀπονεμόντων ὦ Πορφύριε.

**Καὶ νῦν. Θεοτοκίον.** *(Ἐκ τῆς ἀναπληρώσεως).*

Εἰρήνης τέξασα, Μῆτερ τὸν Πρύτανιν, ψυχὰς εἰρήνευσας, τὰς πρὶν διάστασιν, δαιμονικήν τε καὶ σφοδράν, πασχούσας τὴν ἀθέλητον· ὅθεν ἱκετεύω σε, Εἰρηνάρχην μοι δώρησαι, σύμβιον πρεσβείαις σου, ποιμενάρχου Γαζαίων τε, ὃς πάσας τὰς αἰσθήσεις εἰρήνευσεν, ἐν τῇ δυνάμει τοῦ Υἱοῦ σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τοῦ Κυρίου τὸν μύστην, καὶ θεῖον κήρυκα, τὸν τῆς Γάζης ποιμένα, καὶ ὁδηγὸν τῶν πιστῶν, εὐφημήσωμεν ᾠδαῖς, θεῖον Πορφύριον· τῇ Ἐκκλησίᾳ γὰρ Χριστοῦ, ποιμὴν προβάτων λογικῶν, πανάριστος ἀνεδείχθη, τῷ δὲ Θεῷ νῦν πρεσβεύει, ὑπὲρ τῶν πίστει δοξαζόντων αὐτόν.

**Δόξα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.**
*(Ἐκ τῆς ἀναπληρώσεως).*

Ἀειρρόοις δακρύων καταφοραῖς, τὸ γεώργιον Πάτερ σου τῆς ψυχῆς, ἐπότισας τῆς χάριτος, ποταμοὺς ἐφελκύσας σοι· ὅθεν πύλας ἀνοίγεις, οὐρανοῦ χαλκοσπλάγχνους τε, καὶ βροχὴν εὐφορίας, κατάγεις τῇ ποίμνῃ σου· ἄλλος ὡς Ἠλίας, τῆς Καινῆς Διαθήκης, τῷ ζήλῳ πυρούμενος, τὸν Θεὸν ἔσχες νεύοντα, θεοφόρε Πορφύριε· θέσει γεγονὼς γὰρ θεός, τοῖς αἰτοῦσι παρέχεις ἀείζωον, καὶ γλυκύτατον πόμα, οὐδέπω κενούμενον.

www.tezaurliturgic.ro



**Καὶ νῦν. Θεοτοκίον.** *(Ἐκ τῆς ἀναπληρώσεως).*

Ἐμεγάλυνας φύσιν τὴν τῶν βροτῶν, Θεοτόκε λοχείᾳ σου τῇ σεπτῇ, ἐν ταύτῃ δυναμούμενοι, χάριν ἣν ἀπωλέσαμεν, ἐφευρίσκοντες ἔργα, τεράστια πράττομεν, ἅπερ λόγος νοῆσαι, φυσικῶς οὐκ ἐπίσταται· ὅθεν καὶ ὁ Γάζης, προϊστάμενος Κόρη, πολλὰ ἐνεδείξατο, θαυμαστὰ καὶ ὑπέρογκα, εἰς μετάνοιαν ἄγοντα, ψυχὰς ἐσκοτισμένας τὸ πρίν, καὶ ὡδήγει πρὸς φῶς ἐπιγνώσεως, τοῦ τὰ πάντα κρατοῦντος, Υἱοῦ σου Πανάμωμε.

**Τὸ Α΄ ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου.**

**Προκείμενον.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ.: Τί ἀναποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.

**Πᾶσα πνοή...**

Εὐαγγέλιον, τὸ εἰς Ἱεράρχην. (Ζήτει τῇ ιγ΄ Νοεμβρίου).

Εἶτα ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἱεράρχου...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχ.: Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεος σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

Εὐφροσύνης ἀνάπλεως σήμερον, ἡ μνήμη σου ἀρχιεράρχα Πορφύριε· εἰδότες σε γὰρ κατὰ Παῦλον τὸν μέγαν, ἄμεμπτον πραΰν ἐλεήμονα, διακριτικὸν τῶν θείων Γραφῶν, φιλόπτωχόν τε καὶ συμπαθῆ, ὡς κῆπον ᾀσματικὸν ἐπανθοῦντα, δοξάζομεν ἐνθέως τὸν δοξάσαντά σε Κύριον.

Ὁ ἱερεύς: Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

www.tezaurliturgic.ro



Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου,
οὗ ἡ Ἀκροστιχίς·
«Τὸ πορφυρίζον Ποιμένων ἄνθος σέβω. Ἰωσήφ.»

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ.**

Ταύτην τὴν φωτοφόρον, μνήμην σου γεραίροντι Πορφύριε, φωτοφόρον μοι αἴγλην, οὐρανόθεν δοθῆναι ἱκέτευε.

Ὅλον ἀπὸ σπαργάνων, σεαυτὸν Κυρίῳ προσανέθηκας, καὶ αὐτῷ ἐκολλήθης, καὶ ψυχῇ καὶ καρδίᾳ Πορφύριε.

Πάθη προθανατώσας, πάντα δι' ἀσκήσεως Πορφύριε, ἱερεὺς ἀνεδείχθης, τοῦ ζωῆς καὶ θανάτου δεσπόζοντος.

**Θεοτοκίον.**

Ὄμβρον εἰσδεξαμένη, σοῦ ἐν τῇ νηδύϊ τὸν οὐράνιον, Θεοτόκε Παρθένε, ἁμαρτίας τοὺς ὄμβρους ἐξήρανας.

**Καταβασία. Ἀνοίξω τὸ στόμα μου...**

**Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.**

Ῥάβδῳ τῶν δογμάτων σου, ἐπὶ νομὰς ζωῆς Ὅσιε, τὴν ἱεράν, ποίμνην σου ποιμάνας, τῷ Θεῷ εὐηρέστησας.

www.tezaurliturgic.ro



Φέγγει θείας γνώσεως, τοὺς ἐν νυκτὶ δεινῶν Ὅσιε, φωταγωγῶν, ἔδειξας ἡμέρας, κοινωνοὺς διὰ πίστεως.

Ὕψει διαπρέποντα, τῶν ἀρετῶν Θεὸς τέθεικεν, ἐν ὑψηλῇ, πάνσοφε λυχνίᾳ, τοὺς πιστοὺς καταυγάζοντα.

**Θεοτοκίον.**

Ῥῦσαί με πρεσβείαις σου, τῶν τοῦ ἐχθροῦ βελῶν Ἄχραντε, καὶ λογισμῶν, τῶν ἐπεμβαινόντων, ἀφειδῶς τῇ καρδίᾳ μου.

**Καταβασία. Τοὺς σοὺς ὑμνολόγους...**

**Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ἐν πέτρᾳ τῆς πίστεως, ἐρηρεισμένος σοφέ, τὴν πέτραν ἐπόθησας, ἣν εἶδε πρὶν Δανιήλ, Χριστὸν τὸν Θεὸν ἡμῶν· ὕψωσας τὴν φωνήν σου, καὶ τὸν νοῦν πρὸς τὸν Κτίστην· ἔβαλες τοὺς ὀχλοῦντας, τῇ σαρκὶ πολεμίους, τῇ σῇ σφενδόνῃ Γάζης ὁ σεπτός, πρόβολος πάτερ Πορφύριε.

**Δόξα. Καὶ νῦν. Θεοτοκίον.**

Ἐκαίνισας Ἄχραντε, τῷ θείῳ τόκῳ σου, φθαρεῖσαν τοῖς πάθεσι, τῶν γηγενῶν τὴν θνητήν, οὐσίαν καὶ ἤγειρας, πάντας ἐκ τοῦ θανάτου, πρὸς ζωὴν ἀφθαρσίας· ὅθεν σε κατὰ χρέος, μακαρίζομεν πίστει, Παρθένε δεδοξασμένη, ὡς προεφήτευσας.

www.tezaurliturgic.ro


## Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ισουργὸν τῷ Γεννήτορι, Λόγον διαγγέλλων τοῖς ματαιόφροσι, πρὸς εὐσέβειαν ἐζώγρησας, καὶ Θεῷ τῶν ὅλων καθιέρωσας.

Ζωτικαῖς ἐπιπνεύσεσι, τὴν πρὸς τελευταίαν ὥραν ἐγγίζουσαν, ἱερώτατε ἐζώωσας, εἰς πολλῶν καὶ ταύτης ἀναγέννησιν.

Ὁλονύκτοις δεήσεσι, καὶ ταῖς πανημέροις Ὅσιε στάσεσι, τὴν καρδίαν ἀπετέλεσας, τοῦ Θεοῦ τῶν ὅλων καταγώγιον.

**Θεοτοκίον.**

Νεκρωθέντα με Πάναγνε, πάλιν ἀνεζώωσας ὡς κυήσασα, τὴν ζωὴν τὴν ἐνυπόστατον, τὸν Υἱὸν καὶ Λόγον τοῦ Γεννήτορος.

**Καταβασία. Τὴν ἀνεξιχνίαστον...**

## Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Πρόρριζον τεμών, τὴν ἄκανθαν τὴν φιλήδονον, ἐκαρποφόρησας τὸν ἄσταχυν, τῆς εὐσεβείας Ἱεράρχα πανσεβάσμιε.

www.tezaurliturgic.ro



Ομβροις σῶν εὐχῶν, οὐρανοὺς σοφὲ διήνοιξας, καὶ ὑετὸν τῇ γῇ διένειμας, αἱρετιζόντων ἀποπνίξας τὰ ζιζάνια.

Ιθυνας ῥοπῇ, θείου Πνεύματος ὁλόκληρον, λαὸν καὶ πόλιν εἰς λιμένα ζωῆς, διεκφυγόντα ἀθεΐας τὸ κλυδώνιον.

**Θεοτοκίον.**

Μόνην γενεῶν, ἐκ πασῶν σε ἐξελέξατο, ὁ Πλαστουργὸς καὶ ἀναπλάττει ἡμᾶς, ἐν σοὶ οἰκήσας, Θεοτόκε ἀειπάρθενε.

**Καταβασία. Ἐξέστη τὰ σύμπαντα...**

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Εφέσεως ἀληθοῦς ἐπέτυχες, ἐγκρατείᾳ ταπεινώσας τὰ πάθη· καὶ πρὸς Θεόν, προσεχώρησας χαίρων, καὶ ὀρεκτῶν ἀκροτάτῳ παρίστασαι, Πορφύριε Ἱεραρχῶν, καὶ Ποιμένων κανὼν ἀκριβέστατος.

Νοήσας σου τῆς ψυχῆς τὸ ὡραῖον, καθωράθη ἐν σταυρῷ ἡπλωμένος, ὁ ὑψωθείς, ἐν αὐτῷ ἑκουσίως, καὶ τὴν αὐτοῦ φυλακὴν ἐγχειρίζει σοι, ἐμφαίνων σοι τὴν πρὸς αὐτόν, καὶ στοργὴν καὶ τελείαν οἰκείωσιν.

www.tezaurliturgic.ro

Ως Πέτρου τοῦ Κορυφαίου τὸν ζῆλον, καὶ τὴν πίστιν θεηγόρε πλουτήσας, τῷ τμητικῷ, εὐσεβείας σου λόγῳ, τὸ κακουργὸν ἐθανάτωσας γύναιον, τοῦ Μάνεντος φθοροποιά, δολερῶς ὑποσπεῖρον διδάγματα.

**Θεοτοκίον.**

Νεκρώσει τε καὶ φθορᾷ ὑπαχθέντα, τὸν πρωτόπλαστον Παρθένε Μαρία, τὸν νεκρωτήν, τοῦ θανάτου τεκοῦσα, εἰς ἀφθαρσίαν μετήγαγες Ἄχραντε, καὶ ἔδειξας τοὺς γηγενεῖς, οὐρανίους Θεὸν σωματώσασα.

**Καταβασία. Τὴν θείαν ταύτην....**

**Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Ιερωτάτοις σου τρόποις κοσμούμενος, ἱερωσύνης στολαῖς κατηγλάϊσαι, παμμάκαρ θεόφρον Πορφύριε, καὶ ἰαμάτων ἐμπρέπεις ὑψώμασι, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

**Ὁ Οἶκος.**

Υπεραστράπτει πλέον ἡλίου, Πορφυρίου ἡ μνήμη τοῦ σοφοῦ, ἀστραπαῖς θαυμάτων πᾶσαν τὴν κτίσιν φωταγωγοῦσα, καὶ διώκουσα πλάνην τὴν τῶν εἰδώλων, καὶ τοὺς πιστοὺς σελαγίζουσα, πάντας εὐφραίνει· Θεῷ γὰρ εὐαρεστήσας ἐπὶ γῆς, τῶν σημείων ἀπείληφε τὴν χάριν, πάντας ἰᾶσθαι, παρεστὼς τῇ Τριάδι ὀλόφωτος, καὶ πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

www.tezaurliturgic.ro



## Συναξάριον.

Τῇ κστ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Πορφυρίου, Ἐπισκόπου Γάζης.

## Στίχοι.

Ὢ τίς παρέλθῃ, τὶς δὲ καὶ παραδράμῃ,
Τὸν Πορφύριον, κἂν παρῆλθεν ἐκ βίου;

Πορφυρίου νέκυν κρύψε χθὼν εἰκάδι ἕκτῃ.

Οὗτος ὥρμητο ἐκ τῆς Θεσσαλονικέων πόλεως, υἱὸς ὑπάρχων γονέων εὐσεβῶν καὶ πλουσίων. Ἀπάρας δὲ ἐκ τῆς ἐνεγκαμένης, εἰς Αἴγυπτον ἔρχεται· κἀκεῖσε εἰς Σκῆτιν εἰσελθών, τὸν μονήρη βίον ὑποδύεται· καὶ μετὰ πέντε χρόνους εἰς Ἱεροσόλυμα παραγίνεται, πολλοὺς τῷ λόγῳ καταφωτίσας. Διὸ χειροτονεῖται πρεσβύτερος ὑπὸ Πραϋλίου Πατριάρχου Ἱεροσολύμων· εἶτα ὑπὸ Ἰωάννου Ἐπισκόπου Καισαρείας τῆς Παλαιστίνης Ἐπίσκοπος Γάζης χειροτονεῖται. Ἔνθα πολλὰς δυνάμεις θαυμάτων τελέσας, στηρίζει μὲν τοὺς πιστούς, καὶ πολλοὺς τῶν ἀπίστων ἐπιστρέφει πρὸς θεογνωσίαν. Ἀπαίρει δὲ πρὸς Κωνσταντινούπολιν, ὑπὸ τῶν κρατούντων τῆς χώρας τοὺς πιστοὺς ἀδικουμένους ὁρῶν· καὶ ἐντυχὼν τῷ Ἁγίῳ Ἰωάννῃ τῷ Χρυσοστόμῳ, καὶ διηγησάμενος τὰ κατ' αὐτόν, δι' ὃ παρῆν, παραδίδοται ὑπ' αὐτοῦ Ἀμαντίῳ τῷ κουβικουλαρίῳ.

Ἐκ τούτου δὲ ἀναδιδαχθεῖσα τὰ περὶ αὐτοῦ ἡ Βασιλίς, ἐδέξατο αὐτὸν εὐμενῶς, καὶ ἀναφέρει τῷ Βασιλεῖ τὴν τούτου ἐνδημίαν, καὶ πρόρρησιν περὶ τοῦ μέλλοντος παιδὸς ἄρρενος τίκτεσθαι. Ὁ δέ, ἀγασθεὶς ἐπὶ τούτῳ, τὰ εἰκότα τῷ Θεῷ ηὐχαρίστησεν. Εἶτα τίκτει ἡ Βασίλισσα τὸν Νέον Θεοδόσιον· καὶ προσκαλεσαμένη τὸν Ὅσιον, εὐλογεῖται παρ' αὐτοῦ καὶ ὑποτίθεται τῷ Βασιλεῖ πάντα πληροῦν, κατὰ τὴν Ὁσίου θέλησιν. Ὁ δὲ Βασιλεὺς συνταξάμενος, καὶ ἀναγνούς, ἐδυσχέραινε λέγων· διωχθῆναι τοὺς εἰδωλολάτρας οὐ δυνατόν, διὰ τὴν πολλὴν τούτων συντέλειαν. Ἡ δὲ φησὶ πρὸς τὸν Βασιλέα· Βαρεῖα μὲν ἡ αἴτησις, Δέσποτα, βαρυτέρα δὲ ἡ παραίτησις. Διὸ καὶ ἐπινεύει ὁ Βασιλεὺς εἰς πέρας ἐκβῆναι τὰ αἰτούμενα, καὶ ἐκπέμπεται γράμματα κατὰ τῶν αἱρετικῶν, κελεύοντα τούτους ἐκδιωχθῆναι ἀπὸ Γάζης.

www.tezaurliturgic.ro

Ὁ δὲ μακάριος Πορφύριος κομίζεται παρὰ τῆς Αὐγούστης χρυσοῦ κεντηνάρια δύο, χάριν κτίσεως ἐκκλησίας καὶ λόγῳ δαπάνης νομίσματα διακόσια. Καὶ καταλαβὼν τὴν αὐτοῦ ἐκκλησίαν, τοὺς μὲν ἄλλους πάντας ναοὺς τῶν εἰδώλων κατέστρεψε, καὶ τοὺς αἱρετικοὺς ἀπήλασε· τὸν δὲ ναὸν τοῦ Μαρνᾶ* πυρὶ κατακαύσας, ἀνήγειρεν ἐκκλησίαν κατὰ τὸ σχῆμα, ὃ διετάξατο ἡ βασίλισσα Εὐδοξία. Διαπρέψας οὖν ὁσίως ἐν τῇ αὐτῇ ἐκκλησίᾳ, καὶ θαύματα πλεῖστα ἐργασάμενος, ἐν ἔτεσιν εἰκοσιτέσσαρσι καὶ μησὶν ἕνδεκα, καὶ ἡμέραις ὀκτώ, πρὸς Κύριον ἐξεδήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ἁγίας Μάρτυρος Φωτεινῆς τῆς Σαμαρείτιδος, ᾗ ὡμίλησεν ὁ Χριστὸς ἐν τῷ φρέατι, καὶ τῶν σὺν αὐτῇ.

Στίχοι.

Ῥίπτουσι τὴν σὴν Σαμαρεῖτιν εἰς φρέαρ,
Τὴν εἰς φρέαρ σοι συλλαλήσασαν, Λόγε.

Ἕτεροι.

Ἤθλησε στεῤῥῶς Φωτεινὴ σὺν υἱέσι,
Καὶ σὺν ἀδελφαῖς αἰσχύνασα τὴν πλάνην.

Εἰκάδα κατὰ ἕκτην Φωτεινῆς ῥινὸν λυγρῶς ἔδαρον.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία Ἀνατολή, ἡ ἀδελφή αὐτῆς, ξίφει τελειοῦται.

Στίχοι.

Ἀνατολὴν εὕρηκε τὴν νοουμένην,
Ἀνατολὴ τμηθεῖσα γενναιοφρόνως.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία Φωτώ, ἡ ἀδελφὴ αὐτῆς, ξίφει τελειοῦται.

Στίχοι.

Φερνὴν ταλάντων μυρίων ἀνταξίαν,
Φωτὼ φέρει σοι τὴν κάραν, φώτων Πάτερ.

www.tezaurliturgic.ro



Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία Φωτίς, ἡ ἑτέρα ἀδελφὴ αὐτῆς, εἰς δύο προσδεθεῖσα δένδρα, καὶ διαμερισθεῖσα, τελειοῦται.

**Στίχοι.**

Δώσεις ἔπαθλον δενδροάθλῳ Φωτίδι,
Δενδρῶνα τερπνὸν τῆς Ἐδὲμ Θεοῦ Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία Παρασκευή, ἡ ἑτέρα ἀδελφὴ αὐτῆς, ξίφει τελειοῦται.

**Στίχοι.**

Ἡ Παρασκευὴ πρὸς ξίφος τὸν αὐχένα,
Ἕτοιμον εἶχε καὶ παρεσκευασμένον.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία Κυριακή, ἑτέρα ἀδελφὴ αὐτῆς, ξίφει τελειοῦται.

**Στίχοι.**

Ἐκ Κυριακῆς οὐδὲ τοῦ ξίφους φόβος,
Τοῦ Κυρίου τὸν θεῖον ἐκβάλλει φόβον.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Μάρτυς Ἰωσῆς, ὁ υἱὸς τῆς Ἁγίας Φωτεινῆς, ξίφει τελειοῦται.

**Στίχοι.**

Τομεὺς τραχήλων ἐξεγύμνου τὸ ξίφος,
Ἰωσῆ δὲ τράχηλος οὐ φρίττει ξίφος.

www.tezaurliturgic.ro

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Φωτεινός, ὁ ἕτερος υἱὸς αὐτῆς, ξίφει τελειοῦται.

**Στίχοι.**

Τίς οὗτος ἀτμὸς ἐκ ζεόντων αἱμάτων;
Φωτεινὸς ἄρτι Μάρτυς ἐτμήθη κάραν.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Σεβαστιανὸς ὁ Δοὺξ ξίφει τελειοῦται.

**Στίχοι.**

Σεβαστιανῷ τοῦτον εἴπω τὸν λόγον·
Σεβάζομαί σε, τὴν κάραν τετμημένον.

Ὁ Ἅγιος Νεομάρτυς Ἰωάννης Κάλφας ὁ ἐν Κωνσταντινουπόλει μαρτυρήσας ἐν ἔτει ͵αφοε´ (1575), ξίφει τελειοῦται.

**Στίχοι.**

Πληγὰς ἀριθμεῖν μή, Ἰωάννη, θέλε·
Σκηνὰς δὲ μᾶλλον, ἃς ἔχει ἔνδον πόλος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ´. Παῖδες Ἑβραίων.**

Ἄρνας ποιμάνας ἐπὶ χλόην, ἀληθείας ὡς ἀρνίον τῷ Ποιμένι, προσηνέχθης Χριστῷ, Πορφύριε κραυγάζων· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Νέμει καμάτων σου τὰ γέρα, κατοικίζων σε μοναῖς ἐν ἀκηράτοις, Ἰησοῦς ὁ Χριστός, Πορφύριε βοῶντα· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θαύμασι πλείστοις καὶ σημείοις, κατεκόσμησε τὸν βίον σου τρισμάκαρ, ὁ Χριστὸς ὃν ποθῶν, Πορφύριε ἐβόας· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Οἴκτειρον σῶσόν με Παρθένε, τὸν οἰκτίρμονα τεκοῦσα Θεὸν Λόγον, καὶ φωτὶ τῷ ἐν σοί, καταύγασον βοῶντα· Εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

**Καταβασία. Οὐκ ἐλάτρευσαν...**

**Ὠδὴ η΄. Οἱ θεορρήμονες Παῖδες.**

Σεσοφισμένῳ σου λόγῳ κατεβλήθη, ὁ σοφιστὴς τῆς κακίας, Ἱεροκῆρυξ πανόλβιε, εὐσεβῶν δὲ καρδίαι, ἐνθέως εὐφράνθησαν.

Συναγελάζῃ Πατέρων ὁμηγύρει, καὶ συνευφραίνῃ Ὁσίων, Πάτερ μακάριε πνεύμασιν· Εὐλογεῖτε τὰ ἔργα, κραυγάζων τὸν Κύριον.

www.tezaurliturgic.ro

Εξεδαφίσας τεμένη τῶν δαιμόνων, ναὸν Θεοῦ ἐδομήσω, ἐν ᾧ πληθὺς μέλπει ὁσίων· Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Βασιλικὴν ἁλουργίδα πορφυρώσας, ἐξ ἀρετῶν σου καὶ ταύτην, ὡς Ἱερεὺς στολισάμενος, εἰς τὰ ἄνω χορεύεις, βασίλεια Ὅσιε.

**Θεοτοκίον.**

Ως ἀνωτέραν σε πάντων τῶν ποιημάτων, καὶ οὐρανῶν πλατυτέραν, Παρθενομῆτορ ἠγάπησεν, ὁ Υἱός σου καὶ σάρκα, ἐκ σοῦ ἀνελάβετο.

**Καταβασία. Παῖδας εὐαγεῖς...**

**Ὠδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοή.**

Ιστίῳ Πάτερ νοητῷ, ἐκπεράσας τὸ τοῦ βίου κλυδώνιον, οἰακιζόμενος, παλάμῃ θείᾳ τοῦ Παντοκράτορος, πρὸς τοὺς λιμένας τῆς ζωῆς, σοφῶς κατέπλευσας, χαρᾶς λαβόμενος, αἰωνίου καὶ τερπνῆς ἀπολαύσεως.

Ωριμος πλήρης ἡμερῶν, τῶν τοῦ Πνεύματος γενόμενος Ὅσιε, καὶ τὴν ἀπάθειαν, ὡς διπλοΐδα περιβαλλόμενος, ἱερωσύνης στολισμῷ, λάμπων μεταβέβηκας, εἰς φῶς ἀνέσπερον, τοῦ Κυρίου καθορᾶν τὴν τερπνότητα.

www.tezaurliturgic.ro



Στόματι θεῖον γλυκασμόν, ἀρυσάμενος ἠρεύξω μακάριε, λόγον σωτήριον, παθῶν πικρίαν ἀποδιώκοντα, καὶ γλυκασμῷ πνευματικῷ, πάντας ἐνηδύνοντα, τοὺς τὴν ἐτήσιον, ἐκτελοῦντάς σου θεόφρον πανήγυριν.

Ἥλιον ἔγνως τὸν Χριστόν, ὁμιλήσαντα ἡμῖν μετὰ σώματος, καὶ ταῖς λαμπρότησι, ταῖς τούτου Πάτερ ψυχῆς τὰ ὄμματα, καταυγασθεὶς ὁλολαμπής, ἀστὴρ ἐχρημάτισας, θέσει θεούμενος, ἱερὲ θαυματουργὲ Πάτερ Ὅσιε.

**Θεοτοκίον.**

Θεῖσαί μου Σῶτερ ὁ τεχθείς, καὶ φυλάξας τὴν τεκοῦσάν σε ἄφθορον, μετὰ τὴν κύησιν, ὅταν καθίσῃς κρῖναι τὰ ἔργα μου, τὰς ἀνομίας παρορῶν, καὶ τὰς ἁμαρτίας μου, ὡς ἀναμάρτητος, ἐλεήμων ὡς Θεὸς καὶ φιλάνθρωπος.

**Καταβασία. Ἅπας γηγενής...**

**Ἐξαποστειλάριον.**

**Ἐπεσκέψατο ἡμᾶς.**

Μεταναστεύσας τὴν πολλήν, ὕπαρξιν διεσκόρπισας, τοὺς πλάνῃ δὲ σκορπισθέντας, θαύμασιν ἀποστολικοῖς, συνήγαγες Πορφύριε· ἀλλὰ πρέσβευε Πάτερ, σωθῆναι τοὺς δούλους σου.

**Θεοτοκίον.**

Ἐπὶ σοὶ μετὰ Θεόν, ἐλπίζομεν Πανάχραντε, καὶ τῷ ἐκ σοῦ προελθόντι, συσταυρούμενοι Χριστῷ· ταῖς πρὸς αὐτὸν πρεσβείαις σου, ἀπροσκόπτους εἰς τέλος, ἡμᾶς διαφύλαξον.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

**Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

*(Ἐκ τῆς ἀναπληρώσεως)*

Χαίροις ὁ πορφυρώσας φαιδρῶς, τὴν τῶν Γαζαίων Ἐκκλησίαν Πορφύριε, ὡς εἴρηκεν ἐν ὁράσει, ὁ Ἰησοῦς σοι ὀφθείς, ὑπὲρ ταύτης θνήσκων τὴν προαίρεσιν· καὶ γὰρ ἡμερούσιοι, ἀνεφύοντο σκόλοπες, οἱ τῶν εἰδώλων, ὑπὲρ ὧν πλοῦν ἀνείληφας, πρὸς βασίλεια, ὅτε Πάτερ συνήντησας, ἄνθρωπον ἐπουράνιον, Προκόπιον ὅσιον, ὅστις προέφη σοι πάντα, ἐπακριβῶς συμβησόμενα, Θεὸς γὰρ ἐνήργει, καὶ εὐόδου τὰς ὁδούς σου, εὐαρεστούμενος.

Χαίροις χρυσοψυχῶν ἀρεταῖς, χριστοφιλίᾳ θεοφόρε Πορφύριε, τοιοῦτος ὢν ἠξιώθης, τῷ Χρυσοστόμῳ πατρί, συγγενέσθαι ὅπως συμπαρέξῃ σοι, βοήθειαν ἔνδικον, πρὸς εἰδώλων ἀναίρεσιν, ὅμοιον ὄντως, τῷ ὁμοίῳ ἐφέλκεται, καὶ ὁμόηθον, τρόπον ἔχει τὸν ἔμπρακτον· ὅθεν τυχὼν ἐφέσεως, τὴν χάριν ἀπείληφας, ἐκ βασιλέων πλουσίαν, καὶ τὸ Μαρνεῖον ἐξήλειψας, ναὸν δὲ Κυρίου, παμμεγέθη καὶ ὡραῖον, ἀντῳκοδόμησας.

Χαίροις ὁ τῶν δαιμόνων σφοδρός, ὀλοθρευτὴς ἀκαταμάχητος Ὅσιε· τὸν πόλεμον γὰρ τὸν τούτων, ἐν σοὶ τὸ πρῴην εἰδώς, ἐν ἐρήμῳ Πάτερ αὐλιζόμενος, ἐγνώρισας ὕστερον, τὴν μανίαν τὴν ἄλογον, ἣν τοῖς ἀνθρώποις, ὡς φθορεῖς ἐγκατέσπειραν, ἵνα ἔχωσιν, ἀντιθέτως τὸ ἔνδοξον· ὅμως ἐματαιώθησαν, Χριστοῦ συνεργοῦντός σοι, καὶ ἐκνικῶντος ἐν πᾶσι, καὶ μεγαλύνοντος ἄδοξα, καθάπερ προέφη, ὅτι νύμφη σοι καλλίστη, ἡ Γάζα ἔσεται.

www.tezaurliturgic.ro



Χαίροις ὁ εἰρηνεύσας σοφῶς, τὰ ψυχικά σου αἰσθητήρια Ὅσιε, διόπερ καὶ ἠξιώθης, τοῦ εἰρηνεύειν ἀεί, τῶν ποιμαινομένων σου τὰ πρόσωπα, ὡς Πάτερ θεόκλητον, τὴν εἰρήνην εἰσήγαγες, εἰς Ἐκκλησίαν, καὶ πληθὺν δυσαρίθμητον· ὅθεν τέλος σε, ἐν εἰρήνῃ ἀνέλαβε, Κύριος ὃν ἐπόθησας, ἐξ ὅλης καρδίας σου, καὶ ὡς πιστὸς οἰκονόμος, ἐν Παραδείσῳ μεθέστηκας, ἐν ᾧ ἐλεῆσαι, τὸν Χριστὸν ἡμᾶς δυσώπει, θεῖε Πορφύριε.

**Ἕτερα Στιχηρὰ Προσόμοια.**

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Εὐσεβείᾳ κατῄσχυνας, τοὺς ἐν Γάζῃ κακόφρονας, θείοις δὲ διδάγμασι κατεφώτισας, πάντας παμμάκαρ Πορφύριε· διὸ σὲ γεραίρομεν, συνελθόντες εὐλαβῶς, εἰς Ναὸν τοῦ Θεοῦ ἡμῶν, ὕμνοις κράζοντες, σαῖς πρεσβείαις ἐκ βλάβης περιφρούρει, τοὺς τὴν μνήμην σου τελοῦντας, τὴν ἀεισέβαστον ἔνδοξε. Δίς.

Εὐσεβείας ὑπέρλαμπρος, φωστὴρ ὤφθης μακάριε, Ὀρθοδόξου πίστεως ἀνεστήλωσας, νόμους ταῖς σαῖς εἰσηγήσεσι, σοφῶς δὲ ἐξήλεγξας, φληναφίας πάνἀσεβῶν, θείῳ σθένει τοῦ Πνεύματος, ἱερώτατε· ὅθεν πάντας περίσωζε πρεσβεύων, τῷ Δεσπότῃ τῶν ἁπάντων, ὦ ἱεράρχα Πορφύριε.

Ἐν ᾠδαῖς ἀνυμνήσωμεν, τὸν τῆς πλάνης ἀντίπαλον, τὸν θερμαῖς δεήσεσι διασῴζοντα, τοὺς τὴν πανίερον κοίμησιν, ἐν ᾄσμασι μέλποντας, καὶ τηροῦντας εὐσεβῶς, τὰ τῆς πίστεως δόγματα, ὡς παρέδωκεν, ἡ σεπτὴ Ὀρθοδόξων Ἐκκλησία, ὑπὲρ ἧς ἀεὶ πρεσβεύει, ἐν οὐρανοῖς ὁ Πορφύριος.

www.tezaurliturgic.ro
(Ἐκ τῆς ἀναπληρώσεως).

**Δόξα. Ἦχος πλ. α΄.**

Τετραμερῶς κατὰ τόπον ἀσκήσας τὴν ἀρετήν, Πάτερ Πορφύριε, φιλάγιον ἀπαίτησιν τροφείων, ἐνέβαλες ταῖς φιλονικούσαις. Τῇ μὲν Θεσσαλονίκῃ, ὡς ἐνεγκαμένῃ σε φυσικῶς· τῇ δὲ Σκήτῃ ὡς ὑπαλειψάσῃ σε πρὸς τὴν μοναδικὴν πολιτείαν· τῇ δὲ ἁγίᾳ Σιών, ὡς ξενισάσῃ σε, καὶ ἐμπιστευσαμένῃ σοι τὸ ζωομύριστον Ξύλον· τέλος δὲ τῇ τῶν Γαζαίων ἱερᾷ καθέδρᾳ, ἔνθα ὁ Κύριος ἔστησέ σε ἐπὶ ὄρους ὑψηλοῦ, ἀρχιερέα θαυματοφόρον. Ὃς καὶ τὴν φιλόνικον διάστασιν πανσόφως διαλύων, ἦρέ σε πολίτην γνήσιον, ἐπὶ τὴν ἄνω Ἱερουσαλήμ· ἔνθα Ἅγιε ἀπολαύων τὸν μισθὸν τοῦ ἀσκητοῦ, τοῦ ἱεράρχου τὸν ἔπαινον, καὶ τοῦ ὁμολογητοῦ τοὺς στεφάνους, μνημόνευε ἡμῶν τῶν τιμώντων σε.

Ἢ τὸ παρὸν.

Πνεύματος τοῦ Παναγίου ἡ καθαρὰ σοφία, ἐν τῇ σῇ καρδίᾳ, θεσπέσιε Πορφύριε σκηνώσασα, τῆς εἰδωλολατρίας, ἀνέδειξέ σε μέγαν ὄντως διώκτην, ἀποστολικῆς δὲ διδασκαλίας, διαπρύσιον κήρυκα· δι' ὀρθῶν γὰρ δογμάτων, τοὺς μὲν ἀσεβεῖς ἐκποδὼν ἐποιήσω μακάριε, τὴν δὲ ὀρθόδοξον πίστιν τρανώσας, τὴν Ἐκκλησίαν αὐτῆς ἐστερέωσας· διὸ καὶ ἀπείληφας, Ἱεράρχα Πορφύριε, τῆς ἄνω κλήσεως τὰ βραβεῖα. Παρρησίαν οὖν κεκτημένος πρὸς Χριστὸν τὸν Θεόν, ταῖς σαῖς ἀγρύπνοις δεήσεσιν, ἐξάρπασον ἡμᾶς παντὸς κακοῦ, τοὺς τὸ θεῖόν σου τελοῦντας μνημόσυνον.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ´ καὶ ἡ στ´ ᾠδή.

Ἀπόστολος καὶ Εὐαγγέλιον, τὰ εἰς Ἱεράρχην.

Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

**Μεγαλυνάρια.**

Τῆς Θεσσαλονίκης σεπτὸς βλαστός, καὶ Γαζαίων θεῖος, ποιμενάρχης καὶ ὁδηγός, καὶ τῆς Ἐκκλησίας, νυμφαγωγὸς ἐδείχθης, Πορφύριε τρισμάκαρ, σῴζων τοὺς δούλους σου.

Εὗρεν Ἰησοῦς μου κόχλον σεπτόν, ἔνθα μαργαρίτην, ἐνεπίστευσεν ἑαυτόν, καὶ πορφυραυγέσιν, ἀκτῖσι τῶν θαυμάτων, μεγάλως ὕψωσέ σε, Πάτερ Πορφύριε.

Εἴδωλα ποικίλα ἐμῶν παθῶν, ὡς τῆς πλάνης ἄκρος, τοῦ Χριστοῦ μου ἐκδικητής, Πορφύριε μάκαρ, σύντριψον ἕως τέλους, καὶ ὕψωσον ψυχῇ μου, Πνεύματος σκήνωμα.

**Στίχοι.**

Πορφυρωθεὶς τῇ μυστικῇ ἀμπεχόνῃ τρισμάκαρ,
μνήσθητι ὁμωνύμων σου κἀμοῦ τοῦ ὑμνητοῦ σου.
Ἀμήν.